ποτε ἐν ταῖς ἐκκλησίαις ἐπιστάτης γενόμενος οὐκ ἐπέ-
τρεψε τῷ δήμῳ παρὰ τοὺς νόμους ψηφίσασθαι, ἀλλὰ
σὺν τοῖς νόμοις ἠναντιώθη τοιαύτῃ ὁρμῇ τοῦ δήμου,
ἣν οὐκ ἂν οἶμαι ἄλλον οὐδένα ἄνθρωπον ὑπομεῖναι.
3 Καὶ ὅτε οἱ τριάκοντα προσέταττον αὐτῷ παρὰ τοὺς
νόμους τι, οὐκ ἐπείθετο. τοῖς τε γὰρ νέοις ἀπαγο-
ρευόντων αὐτῶν μὴ διαλέγεσθαι, καὶ προσταξάντων
ἐκείνῳ τε καὶ ἄλλοις τισὶ τῶν πολιτῶν ἀγαγεῖν τινὰ
ἐπὶ θανάτῳ, μόνος οὐκ ἐπείσθη, διὰ τὸ παρὰ τοὺς
4 νόμους αὐτῷ προστάττεσθαι. Καὶ ὅτε τὴν ὑπὸ
Μελίτου γραφὴν ἔφευγε, τῶν ἄλλων εἰωθότων ἐν
τοῖς δικαστηρίοις πρὸς χάριν τε τοῖς δικασταῖς δια-
λέγεσθαι καὶ κολακεύειν καὶ δεῖσθαι παρὰ τοὺς νόμους,
καὶ διὰ τὰ τοιαῦτα πολλῶν πολλάκις ὑπὸ τῶν δικα-
στῶν ἀφιεμένων, ἐκεῖνος οὐδὲν ἠθέλησε τῶν εἰωθότων
ἐν τῷ δικαστηρίῳ παρὰ τοὺς νόμους ποιῆσαι, ἀλλὰ
ῥᾳδίως ἂν ἀφεθεὶς ὑπὸ τῶν δικαστῶν, εἰ καὶ μετρίως
τι τούτων ἐποίησε, προείλετο μᾶλλον τοῖς νόμοις ἐμ-
5 μένων ἀποθανεῖν, ἢ παρανομῶν ζῆν. Καὶ ἔλεγε
δὲ οὕτω καὶ πρὸς ἄλλους μὲν πολλάκις· οἶδα δέ ποτε
αὐτὸν καὶ πρὸς Ἱππίαν τὸν Ἠλεῖον περὶ τοῦ δικαίου
τοιάδε διαλεχθέντα. διὰ χρόνου γὰρ ἀφικόμενος
ὁ Ἱππίας Ἀθήναζε, παρεγένετο τῷ Σωκράτει λέγοντι
πρός

§. 2. ποτε] Vulgo edunt ὅτε, quod quidem per ſe non eſt abſurdum, quia γενόμενος, ſc. ἦν, foret pro ἐγένετο, vid. ſupra ad II, 1, 23: II, 6, 25. Sed cum ex initiis ſequentium factorum ductum eſſe videretur, cum Ern. recepi lectionem MS. 1, quam dudum coniecerat Leonclauius.

ψηφίσασθαι] De hac re vid. I, 1, 18. Mox ἣν pro οἵαν. *Ern.*

§. 3. οὐκ] Iunt. οὐδὲ.

νέοις] Vid. I, 2, 35.

τινα ἐπὶ θανάτῳ] Intelligitur Leon Salaminius, de quo Hindeburgius laudat Xen. H. Gr. II, 3, 18: Plat. Apol. 20: et Menag. ad Laërt. L. II, ſect. 24, p. 83.

§. 4. Μελίτου] Edd. vett. Μελήτου.

δεῖσθαι παρὰ τ. ν.] Quint. VI, 1, *Athenis affectus mouere etiam per praeconem prohibebatur orator:* Pollux VIII, 117, vbi de Areopago loquitur, Προοιμιάζεσθαι δὲ, inquit, οὐκ ἐξῆν, οὐδὲ οἰκτίζεσθαι. Cf. Lucian. de Gymnaſ.

τι τούτων] Brodaeus explicat: *quae caeteri rei facere conſueuerunt, iudices orare, vxorem ac liberos ſordidatos ac flentes in concionem producere.*

§. 5. ἄλλους μὲν] Deeſt μὲν in edd. vett.

διὰ χρόνου] Secundum aduenerat Athenas vt ex ſeqq. apparet.
Cum

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id375455116/280 gefördert von der Deutschen Forschungsgemeinschaft DFG